ἐπιμελέστερον συνεργοῦντες τοῖς πρεσβυτέροις τῶν Ιουδαίων καὶ
3 ἱεροστάταις. [3]καὶ εὔοδα ἐγίνετο τὰ ἱερὰ ἔργα προφητευόντων Αγ-
4 γαιου καὶ Ζαχαριου τῶν προφητῶν, [4]καὶ συνετέλεσαν ταῦτα διὰ
5 προστάγματος τοῦ κυρίου θεοῦ Ισραηλ, [5]καὶ μετὰ τῆς γνώμης
Κύρου καὶ Δαρείου καὶ Ἀρταξέρξου βασιλέως Περσῶν συνετελέσθη
ὁ οἶκος ὁ ἅγιος ἕως τρίτης καὶ εἰκάδος μηνὸς Αδαρ τοῦ ἕκτου
6 ἔτους βασιλέως Δαρείου. [6]καὶ ἐποίησαν οἱ υἱοὶ Ισραηλ καὶ οἱ ἱε-
ρεῖς καὶ οἱ Λευῖται καὶ οἱ λοιποὶ οἱ ἐκ τῆς αἰχμαλωσίας οἱ προσ-
7 τεθέντες ἀκολούθως τοῖς ἐν τῇ Μωυσέως βίβλῳ· [7]καὶ προσήνεγ-
καν εἰς τὸν ἐγκαινισμὸν τοῦ ἱεροῦ τοῦ κυρίου ταύρους ἑκατόν,
8 κριοὺς διακοσίους, ἄρνας τετρακοσίους, [8]χιμάρους ὑπὲρ ἁμαρτίας
παντὸς τοῦ Ισραηλ δώδεκα πρὸς ἀριθμὸν ἐκ τῶν φυλάρχων τοῦ
9 Ισραηλ δώδεκα· [9]καὶ ἔστησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἐστολισμέ-
νοι κατὰ φυλὰς ἐπὶ τῶν ἔργων τοῦ κυρίου θεοῦ Ισραηλ ἀκολούθως
τῇ Μωυσέως βίβλῳ καὶ οἱ θυρωροὶ ἐφ᾽ ἑκάστου πυλῶνος.
10 [10]Καὶ ἠγάγοσαν οἱ υἱοὶ Ισραηλ τῶν ἐκ τῆς αἰχμαλωσίας τὸ
πασχα ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνός· ὅτι ἡγνί-
11 σθησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἅμα, [11]καὶ πάντες οἱ υἱοὶ τῆς αἰχ-
μαλωσίας οὐχ ἡγνίσθησαν, ὅτι οἱ Λευῖται ἅμα πάντες ἡγνίσθησαν
12 [12]καὶ ἔθυσαν τὸ πασχα πᾶσιν τοῖς υἱοῖς τῆς αἰχμαλωσίας καὶ τοῖς
13 ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσιν καὶ ἑαυτοῖς. [13]καὶ ἐφάγοσαν οἱ υἱοὶ
Ισραηλ οἱ ἐκ τῆς αἰχμαλωσίας, πάντες οἱ χωρισθέντες ἀπὸ τῶν
14 βδελυγμάτων τῶν ἐθνῶν τῆς γῆς, ζητοῦντες τὸν κύριον. [14]καὶ
ἠγάγοσαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας εὐφραινόμενοι
15 ἔναντι τοῦ κυρίου, [15]ὅτι μετέστρεψεν τὴν βουλὴν τοῦ βασιλέως
Ἀσσυρίων ἐπ᾽ αὐτοὺς κατισχῦσαι τὰς χεῖρας αὐτῶν ἐπὶ τὰ ἔργα
κυρίου θεοῦ Ισραηλ.
8 [1]Καὶ μεταγενέστερος τούτων βασιλεύοντος Ἀρταξέρξου τοῦ Περ-
σῶν βασιλέως προσέβη Εσδρας Σαραιου τοῦ Εζεριου τοῦ Χελκιου
2 τοῦ Σαλημου [2]τοῦ Σαδδουκου τοῦ Αχιτωβ τοῦ Αμαριου τοῦ Οζιου
τοῦ Βοκκα τοῦ Αβισουε τοῦ Φινεες τοῦ Ελεαζαρ τοῦ Ααρων τοῦ

2 ιουδαιων] ιεραιων (pro ιερεων) A || 5 κυρου] pr. του B† | βασιλεως 1⁰] -λεων A | και 1⁰ — περσων ad 4 tractis incipit A aliud enuntiatum ante συνετελεσθη addens εως του εκτου ετους δαρειου βασιλεως περσων | ο αγιος > B || 7 τετρακοσιας B† || 9 εστολ. / κατα φυλ.] tr. A | του κυρ. θεου V] κυρ. του θεου *AL*†, του > B || 10 οτι] οτε *BL*† || 11 ουχ codex unus codici B cognatus] ουκ *L*†, οτι BA; cf. Par. II 30 17. 18 || 14 του ult. > B
8 (cf. Esdr. II 7—10 5) 1 τουτων] + εστιν mss.: deleuit Fritzsche | περσων βασ.] tr. *BL*† | εσδρας] εσρας B†: item B† fere ubique, sed in 8 19 et in subscr. libri etiam B εσδρας (cf. etiam 8 7 9 46); A ubique εζρας, sed in 9 1 A† εδρας; cf. II 7 1 | σαραιου] αζαρ. B† | εζεριου] ζεχρ. B† || 2 σαδδουκου] σαδδουλουκου B† | αμαριου] -ρθειου B† | του οζ(ε)ιου B†] του εζιου (al. εζαριου) του μαρερωθ του ζαραιου του σαουια A: cf. II 7 3/4 | αβισουε (uel -σουαι)] -σαι B†